Permalink: http://gams.uni-graz.at/o:ethnos.374

# Str. 11,14,12 = 530,26

| | |
|---|---|
| Title | Geography |
| Author | Strabo |
| Date | 1st Cen.B.C.-1st Cen.A.D. |
| Original text | καὶ τὴν ἐσθῆτα δὲ τὴν Ἀρμε- νιακὴν Θετταλικήν φασιν, οἷον τοὺς βαθεῖς χιτῶνας οὓς καλοῦσιν Θετταλικοὺς ἐν ταῖς τραγῳδίαις, καὶ ζων- νύουσι περὶ τὰ στήθη καὶ ἐφαπτίδας, ὡς καὶ τῶν τρα- γῳδῶν μιμησαμένων τοὺς Θετταλούς · ἔδει μὲν γὰρ αὐτοῖς ἐπιθέτου κόσμου τοιούτου τινός, οἱ δὲ Θετταλοὶ μάλιστα βαθυστολοῦντες, ὡς εἰκός, διὰ τὸ πάντων εἶ- ναι Ἑλλήνων βορειοτάτους καὶ ψυχροτάτους νέμεσθαι τόπους ἐπιτηδειοτάτην παρέσχοντο μίμησιν τῇ τῶν ὑποκριτῶν διασκευῇ ἐν τοῖς ἀναπλάσμασιν · καὶ τὸν τῆς ἱππικῆς ζῆλόν φασιν εἶναι Θετταλικὸν καὶ τούτοις ὁμοίως καὶ Μήδοις. |
| Source | S. Radt, Strabons Geographika, Bd. 3, Buch IX-XIII. |
| Source of translation | S. Radt, Strabons Geographika, Bd. 3, Buch IX-XIII. |
| Instances | Ath. 14,83 |
| Descriptor | Dressing, horsemanship |
| Coverage | Armenia |
| Ethnic Groups | Thessalians |
| Editor | Margit Offenmüller |
| Publisher | Klaus Tausend, Institut für Alte Geschichte und Altertumskunde, Universität Graz |